ἔνεισιν' ὥς φησιν ὁ Δημόκριτος (B 151). 'ἀλλὰ τοῦτ' αὐτό' ἔφη 'καὶ μάλιστα τὴν μοῖραν ὑπὲρ εἱμαρμένην ἡμῖν ἐπήγαγεν. ἰσότητος γάρ, ἣν F

'πόλεις τε πόλεσι συμμάχοις τε συμμάχους'

ἡ Εὐριπίδειος γραῦς (Phoen. 537) φησι 'συνδεῖν', οὐδὲν [οὖν] οὕτως ὡς ἡ περὶ τράπεζαν κοινωνία δεῖται, φύσει κοὐ νόμῳ καὶ ἀναγκαίαν οὐ καινὴν οὐδ' ἐπείσακτον ὑπὸ δόξης ἔχουσα χρείαν· τῷ πλέονα δ' ἐκ τῶν κοινῶν ἐσθίοντι 'πολέμιον καθίσταται' τὸ καθυστεροῦν καὶ ἀπολειπόμενον, | ὥσπερ ἐν ῥοθίῳ ταχυναυτούσης τριήρους. **644**
οὐ γὰρ φιλικὸν οὐδὲ συμποτικὸν οἶμαι προοίμιον εὐωχίας ὑφόρασις καὶ ἁρπασμὸς καὶ χειρῶν ἅμιλλα καὶ διαγκωνισμός, ἀλλ' ἄτοπα καὶ κυνικὰ καὶ τελευτῶντα πολλάκις εἰς λοιδορίας καὶ ὀργὰς οὐ κατ' ἀλλήλων μόνον ἀλλὰ καὶ κατὰ τῶν τραπεζοκόμων καὶ κατὰ τῶν ἑστιώντων. ὅσον δὲ χρόνον ἡ Μοῖρα καὶ ἡ Λάχεσις ἰσότητι τὴν περὶ τὰ δεῖπνα καὶ συμπόσια κοινωνίαν ἐβράβευον, οὐθὲν ἰδεῖν ἄκοσμον ἦν οὐδ' ἀνελεύθερον· ἀλλὰ καὶ τὰ δεῖπνα 'δαῖτας' ἐκάλουν καὶ τοὺς ἑστιωμένους 'δαιτυμόνας', 'δαιτροὺς' δὲ τοὺς τραπεζοκόμους ἀπὸ τοῦ διαιρεῖν καὶ διανέμειν. Λακεδαιμόνιοι δὲ κρεωδαίτας εἶχον οὐ τοὺς B
τυχόντας ἀλλὰ τοὺς πρώτους ἄνδρας, ὥστε καὶ Λύσανδρον ὑπ' Ἀγησιλάου τοῦ βασιλέως ἐν Ἀσίᾳ κρεωδαίτην ἀποδειχθῆναι. τότ' οὖν αἱ νεμήσεις ἐξέπεσον, ὅτ' ἐπεισῆλθον αἱ πολυτέλειαι τοῖς δείπνοις· οὐ γὰρ ἦν οἶμαι πέμματα καὶ κανδύλους καὶ καρυκείας ἄλλας τε παντοδαπὰς ὑποτριμμάτων καὶ ὄψων παραθέσεις διαιρεῖν, ἀλλ' ἐξηττώ-